eul_wid: hzs-aa

Ἑρμόκλης ὁ Κυζικηνός · Hermocles of Cyzicus

# Ithyphalli

## Ἰθυφάλλοι

**Period:** Ἑλληνιστική Hellenistic
**Dialect:** Κοινή Koine
**Domain:** Ποίησις Poetry
**Format:** Ἔμμετρος Verse

. . . . . . . Ὡς οἱ μέγιστοι τῶν θεῶν καὶ φίλτατοι
[para]τῇ πόλει πάρεισιν·
ἐνταῦθα γὰρ Δήμητρα καὶ Δημήτριον
ἅμα παρῆχ’ ὁ καιρός.
Χὴ μὲν τὰ σεμνὰ τῆς Κόρης μυστήρια
[para]ἔρχεθ’ ἵνα ποιήσῃ,
ὁ δ’ ἱλαρός, ὥσπερ τὸν θεὸν δεῖ, καὶ καλὸς
[para]καὶ γελῶν πάρεστι.
Σεμνόν τι φαίνεθ’, οἱ φίλοι πάντες κύκλῳ,
ἐν μέσοισι δ’ αὐτός,
ὅμοιον ὥσπερ οἱ φίλοι μὲν ἀστέρες,
[para]ἥλιος δ’ ἐκεῖνος.
Ὦ τοῦ κρατίστου παῖ Ποσειδῶνος θεοῦ,
[para]χαῖρε, κἀφροδίτης.
Ἄλλοι μὲν ἢ μακρὰν γὰρ ἀπέχουσιν θεοί,
[para]ἢ οὐκ ἔχουσιν ὦτα,
ἢ οὐκ εἴσιν, ἢ οὐ προσέχουσιν ἡμῖν οὐδὲ ἕν,
[para]σὲ δὲ παρόνθ’ ὁρῶμεν,
οὐ ξύλινον οὐδὲ λίθινον, ἀλλ’ ἀληθινόν.
Εὐχόμεσθα δή σοι·
πρῶτον μὲν εἰρήνην ποίησον, φίλτατε,
[para]κύριος γὰρ εἶ σύ,
τὴν δ’ οὐχὶ Θηβῶν, ἀλλ’ ὅλης τῆς Ἑλλάδος
[para]Σφίγγα περικρατοῦσαν,
(Αἰτωλὸς ὅστις ἐπὶ πέτρας καθήμενος,

[para]ὥσπερ ἡ παλαιά,
τὰ σώμαθ’ ἡμῶν πάντ’ ἀναρπάσας φέρει,
[para]κοὐκ ἔχω μάχεσθαι·
Αἰτωλικὸν γὰρ ἁρπάσαι τὰ τῶν πέλας,
νῦν δὲ καὶ τὰ πόρρω·)
μάλιστα μὲν δὴ κόλασον αὐτός· εἰ δὲ μή,
[para]Οἰδίπουν τιν’ εὑρέ,
τὴν Σφίγγα ταύτην ὅστις ἢ κατακρημνιεῖ
ἢ σπίνον ποιήσει.

Eulogikon public reading copy · View original HTML at eulogikon.org